**Παρακλητικός Κανών** στον Όσιο **Δαβίδ** τον εν Ευβοίας

Ὁ Ἱερεύς: Εὐλογητός ὁ Θεός ἡμῶν πάντοτε, νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων.
Ὁ Ἀναγνώστης: Ἀμήν.
Δόξα σοί, ὁ Θεός ἡμῶν, δόξα σοί.
Βασιλεῦ Οὐράνιε, Παράκλητε, τό Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρών καί τά πάντα πληρῶν, ὁ θησαυρός τῶν ἀγαθῶν καί ζωῆς χορηγός, ἐλθέ καί σκήνωσον ἐν ἡμίν καί
καθάρισον ἡμᾶς ἀπό πάσης κηλίδος καί σῶσον, Ἀγαθέ τάς ψυχᾶς ἡμῶν.
Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος ἐλέησον ἡμᾶς. (τρεῖς φορές)
Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.
Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.
Παναγία τριάς, ἐλέησον ἡμᾶς. Κύριε ἰλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρισον τάς ἀνομίας ἡμίν. Ἅγιε, ἐπισκεψε καί ἴασαι τάς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.
Κύριε ἐλέησον, Κύριε ἐλέησον, Κύριε ἐλέησον.
Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.
Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.
Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τό ὄνομά Σου, ἐλθέτω ἡ βασιλεία Σου, γεννηθήτω τό θέλημά Σου ὡς ἐν οὐρανό καί ἐπί τῆς γής. Τόν ἄρτον ἡμῶν τόν ἐπιούσιον δός
ἡμίν σήμερον, καί ἄφες ἡμίν τά ὀφειλήματα ἡμῶν, ὡς καί ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καί μή εἰσενέγκης ἡμᾶς εἰς πειρασμόν ἀλλά ρύσαι ἡμᾶς ἀπό τοῦ πονηροῦ.

Ψαλμός ρμβ᾽ (142)
Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τήν δέησίν μου ἐν τή ἀληθεία σου, εἰσάκουσόν μου ἐν τή δικαιοσύνη σου• καί μή εἰσέλθης εἰς κρίσιν μετά τοῦ δούλου σου, ὅτι
οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. ὅτι κατεδίωξεν ὁ ἐχθρός τήν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τήν ζωήν μου, ἐκάθισε μέ ἐν σκοτεινοῖς ὡς νεκρούς αἰῶνος καί ἠκηδίασεν
ἔπ ἐμέ τό πνεῦμά μου, ἐν ἐμοί ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πάσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. διεπέτασα
πρός σέ τάς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρος σοί. Ταχύ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τό πνεῦμά μου μή ἀποστρέψης τό πρόσωπόν σου ἄπ ἐμοῦ, καί ὁμοιωθήσομαι
τοῖς καταβαίνουσιν εἰς λάκκον. ἀκουστόν ποίησον μοί τό πρωί τό ἔλεός σου, ὅτι ἐπί σοῖ ἤλπισα• γνώρισον μοί, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρός σέ ἦρα τήν ψυχήν μου•
ἐξελοῦ μέ ἐκ τῶν ἐχθρῶν μου, Κύριε, ὅτι πρός σέ κατέφυγον. δίδαξον μέ τοῦ ποιεῖν τό θέλημά σου, ὅτι σύ εἰ ὁ Θεός μου• τό πνεῦμά σου τό ἀγαθόν ὁδηγήσει μέ ἐν γῆ εὐθεία.
Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις μέ, ἐν τή δικαιοσύνη σου ἐξάξεις ἐκ θλίψεως τήν ψυχήν μου καί ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τούς ἐχθρούς μου καί ἀπολεῖς πάντας
τούς θλίβοντας τήν ψυχήν μου, ὅτι ἐγώ δοῦλός σου εἰμι.

Θεός Κύριος, καί ἐπέφανεν ἡμίν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος ἅ᾽. Ἐξομολογεῖσθε τῷ Κυρίω, καί ἐπικαλεῖσθε τό ὄνομα τό ἅγιον αὐτοῦ.
Θεός Κύριος, καί ἐπέφανεν ἡμίν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος β᾽. Πάντα τά ἔθνη ἐκύκλωσαν μέ, καί τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Θεός Κύριος, καί ἐπέφανεν ἡμίν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος γ᾽. Παρά Κυρίου ἐγένετο αὕτη, καί ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.
Θεός Κύριος, καί ἐπέφανεν ἡμίν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Εἶτα τά παρόντα Τροπάρια.
Ἦχος δ᾽. Ὁ ὑψωθεῖς ἐν τῷ Σταυρῶ.
Τούς προσιόντας τοῖς λειψάνοις σου, καί ἐκζητούντας τήν θερμήν μεσιτείαν σου,

Εὐβοίας μέγα καύχημα, παμμάκαρ Δαβίδ, ρύσαι πάσης θλίψεως, ἀνηκέστου μανίας τοῦ δολίου
δράκοντος, καί κινδύων παντοίων, ὡς παρρησίαν ἔχων πρός Θεόν, πνευματοφόρε ἀζύγων ὡράϊσμα.
Δόξα Πατρί καί Υἱῷ καί Ἁγίω Πνεύματι.
Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.

Θεοτοκίον.
Οὐ σιωπήσομεν πότε, Θεοτόκε, τά, δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι• εἰ μή γάρ σύ προϊστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; Τίς δέ διεφύλαξεν ἕως
νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἔκ σοὐ• σούς γάρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ψαλμός ν΄ (50)
Ἐλέησον μέ, ὁ Θεός, κατά τό μέγα ἔλεός σου καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τό ἀνόμημά μου•ἐπί πλεῖον πλῦνον μέ ἀπό τῆς ἀνομίας μου καί ἀπό τῆς ἁμαρτίας
μου καθάρισον μέ. Ὅτι τήν ἀνομίαν μου ἐγώ γινώσκω, καί ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστι διαπαντός. Σοί μόνω ἥμαρτον καί τό πονηρόν ἐνώπιόν σου ἐποίησα, ὅπως ἄν
δικαιωθῇς ἐν τοῖς λόγοις σου, καί νικήσῃς ἐν τῷ κρίνεσθαι σέ. Ἰδού γάρ ἐν ἀνομίαις συνελήφθην, καί ἐν ἁμαρτίαις ἐκίσσησε μέ ἡ μήτηρ μου. Ἰδού γάρ ἀλήθειαν ἠγάπησας,
τά ἄδηλα καί τά κρύφια της σοφίας σου ἐδήλωσας μοί. Ραντιεῖς μέ ὑσσώπω, καί καθαρισθήσομαι, πλυνεῖς μέ, καί ὑπέρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοί ἀγαλλίασιν καί
εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀποστρεψον τό πρόσωπόν σου ἀπό τῶν ἁμαρτιῶν μου καί πάσας τάς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαράν κτίσον
ἐν ἐμοί, ὁ Θεός, καί πνεῦμα εὐθές ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μή ἀπορρίψῃς μέ ἀπό τοῦ προσώπου σου καί τό πνεῦμά σου τό ἅγιον μή ἀντανέλῃς ἄπ ἐμοῦ. Ἀπόδος
μοί τήν ἀγαλλίασιν τοῦ σωτηρίου σου καί πνεύματι ἡγεμονικῶ στήριξον μέ. Διδάξω ἀνόμους τάς ὁδούς σου, καί ἀσεβεῖς ἐπί σέ ἐπιστρέψουσι. Ρύσαι μέ ἐξ αἱμάτων ὁ Θεός,
ὁ Θεός τῆς σωτηρίας μου•ἀγαλλιάσεται ἡ γλῶσσά μου τήν δικαιοσύνην σου. Κύριε, τά χείλη μου ἀνοίξεις, καί τό στόμα μου ἀναγγελεῖ τήν αἴνεσίν σου. Ὅτι εἰ ἠθέλησας θυσίαν,
ἔδωκα ἄν•ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καί τεταπεινωμένην ὁ Θεός οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε,
ἐν τή εὐδοκία σου τήν Σιῶν, καί οἰκοδομηθήτω τά τείχη Ἱερουσαλήμ• τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφοράν καί ὁλοκαυτώματα• τότε ἀνοίσουσιν ἐπί τό θυσιαστήριόν
σου μόσχους.

Εἶτα ψάλλομεν τάς Ὠδᾶς τοῦ Κανόνος.
Ὠδή ἄ΄. Ἦχος πλ. α΄. Ὑγρᾶν διοδεύσας.
Θεῶ τό δοτήρι τῶν ἀγαθῶν, Δαβίδ θεοφόρε, τῷ δοξάσαντι σέ λαμπρῶς, προσπίπτων τά χείλη μου αἰτοῦμαι, εἰς τό ὑμνεῖν καί γεραίρειν σέ ἄνοιξον.
Εὐώδης Κυρίου ὤφθης λειμών, καρπούς μυροβόλους τῶν ἐνθέων σου ἀρετῶν, ἐκφύων, Δαβίδ• ὅθεν εὐχαίς σου, τήν δυσωδίαν παθῶν μου ἐκδίωξον.
Ὡς στύλον ἀσκήσεως ἄκλινη, Χριστῷ παιδιόθεν κολληθέντι διηνεκῶς, ὑμνοῦντες, Δαβίδ, σοί ἐκβοῶμεν• ἡμᾶς Χριστοῦ Ἐκκλησία προσκόλλησον.

Θεοτοκίον
Ἀρέσκειν τῷ Κτίστη τέ καί Θεῶ, πανύμνιατε Κόρη, καταξίωσον τόν πιστῶς, προσφεύγοντα σκέπη σου τή θεία, καί τήν σεμνήν σου μορφήν μεγαλύνοντα.

Ὠδή γ΄. Οὐρανίας ἀψίδος.
Ρυπωθεῖς τή κακία, καί βδελυραῖς πράξεσι, ταῖς σαῖς ἱκεσίαις προσῆλθον, ὅσιε,

κράξων σοί• ἐκκάθαρον μέ, Δαβίδ, ὁ καθαρθεῖς ἐν ἀσκήσει, προσευχή, νηστεία τέ, πόνοις
καί θλίψεσι.
Ἐκκαθάραι μέ ρύπου, γέρον Δαβίδ, δέομαι, καί τάς ἐκτροπᾶς τοῦ νοός μου, σύ ἐπανόρθωσον, ὁ τόν Σωτήρα Χριστόν, ἀπό ψυχῆς ἀγαπήσας παιδιόθεν, ὄλβιε, σκεῦος
τῆς χάριτος.
Συμπαθές ἀντιλῆπτορ, ὡς ἀρραγές ἔρεισμα καί ἀδιατάρακτον τεῖχος, πάντες σέ ἔγνωμεν, Δαβίδ, ὅσιων φωστήρ, οἱ ἐκ μύχιων καρδίας, σπεύδοντες ἑκάστοτε, τή μεσιτεία σου.
Καθαγίασον πάσας, τάς εὐσεβῶν φάλαγγας, τάς προσερχομένας ἐν πίστει, τή θεία μάνδρα σου, Δαβίδ, φιάλη χρυσή, ἁγιασμοῦ τέ καί φρέαρ, ἐκβλυζάνων ἅπασιν, ὕδωρ ἰάσεων.

Θεοτοκίον.
Ἀδιάλλακτε Κόρη, ὡς πρός Χριστόν ἔχουσα, καί Υἱόν τόν σόν παρρησίαν, Μῆτερ ἀνήροτε, ἡγιασμένη γαστήρ, Αὐτόν ἀπαύστως δυσώπει, δοῦναι τοῖς ὑμνοῦσι σέ, χάριν καί ἔλεος.
Διασωσον ἀπό κινδύνων καί θλίψεων σούς ἱκέτας, τούς τιμῶντας πανευλαβῶς, Δαβίδ, τήν σήν ἄσκησιν, καί σέβοντας κάραν σου τήν ἁγίαν.
Ἐπιβλεψον ἐν εὐμενεία, Πανύμνητε Θεοτόκε, ἐπί τήν ἐμήν χαλεπήν του σώματος κάκωσιν, καί ἴασαι τῆς ψυχῆς μου τό ἄλγος. xristianos.gr

Εἶτα μνημονεύει ὁ Ἱερεύς ἐκείνων δι᾽ οὓς ἡ Παράκλησις τελεῖται.
Αἴτησις καί τό Κάθισμα.
Ἦχος β᾽. Πρεσβεία θερμή.
Λοκρίδος βλαστός ἐδείχθης ἐνθεώτατος, Εὔβοιας πυρσός, παμμάκαρ φαεινότατος• διό σοί κραυγάζομεν, ἀσκητῶν, Δαβίδ, ἀκροθίνιον, γενοῦ ἡμῶν προστάτης ἀκλινής,
ἐν πάσαις τοῦ βίου περιστάσεσιν.

Ὠδή δ᾽. Εἰσακήκοα Κύριε.
Ἰατρεύεις νοσήματα λοιμικά, θεράπον Χριστοῦ θερμοτατε, τή ἀπαύστω μεσιτεία σου, πρός τόν Ποιητήν ἡμῶν καί Κύριον.
Νεολαίαν Ὀρθόδοξον, τήν χειμαζομένην βολαῖς τοῦ δράκοντος, ὑποστήριξον καί ἴθυνον, πρός τήν σωτηρίαν, Πάτερ ὅσιε.
Ἀμαυρώσας ὁ δείλαιος, τῆς ψυχῆς τήν χλαίναν ποικίλοις πταίσμασι, σαῖς πρεσβείαις ἐξαιτούμενος, δέομαι, Δαβίδ, αὐτήν σύ κάθαρον.

Θεοτοκίον
Ξένου θαύματος πρόξενε, Μῆτερ τοῦ Ὑψίστου τέ καί Παντάνακτος, δυσωπῶ σέ ὁ ταλαίπωρος, τάς ὁρμᾶς τοῦ σώματος καταστειλον.

Ὠδή ἑ᾽. Φώτισον ἡμᾶς.
Ἴσχυσας, Δαβίδ, καθελεῖν ἐχθροῦ τήν ἔπαρσιν, θείω σθένει καί πρεσβεύεις νῦν ἡμᾶς, καταισχύναι προσευχή σατᾶν τόν δόλιον.
Ὤφθης πλημμυρίς, θαυμασίων τέ καί πέλαγος παραδόξων, ὑπερθαύμαστε Δαβίδ, ἐκπληρῶν τῶν σέ τιμώντων πᾶσαν αἴτησιν. xristianos.gr
Σώζειν ἐκ φθορᾶς, καί παγίδων τοῦ ἀλάστορος, εὗρες χάριν, παντευλόγητε Δαβίδ, τῶν Λοκρῶν καί Εὐβοέων σεμνολόγημα.

Θεοτοκίον
Οἴκτιρον ἡμᾶς, Θεοτόκε ὑπερύμνητε, ἡ τόν μόνον Πανοικτίρμονα Θεόν, συλλαβοῦσα καί τεκοῦσα ὑπέρ ἔννοιαν.

Ὠδή στ᾽. Τήν δέησιν.
Νενέκρωμαι, οἴμοι, ὁ πολυστηνος, ἀκηδία, καί ὀφλήμασι πλείστοις, ἀλλά θαρρῶν σαῖς πλουσίαις πρεσβείαις, ἀναβοῶ σοί• Δαβίδ παμμακάριστε, ἀναστησόν μέ καί ταχύ,
τῆς ζωῆς μοί παρασχου τό φίλημα.
Μακάριος εἰ, Δαβίδ πανένδοξε, ὁ Κυρίου νηπιόθεν τά ἴχνη, ἀκολουθήσας καί φθάσας εἰς ὕψος, ἀοργησίας καί νήψεως ἄμετρον• διό καί χάριν δαψιλή,

θεραπεύειν νοσήματα
εἴληφας.
Εὐφρόσυνον βιοτήν παρασχου μοί, ἐν εἰρήνη καί ἀγάπη τελεία, ὁ ἐκ ψυχῆς, ὤ Δαβίδ, ἀγαπήσας, τόν Λυτρωτήν καί ζωῆς τόν Εἰρήναρχον, καί τά θελήματα Αὐτοῦ, ἐκτελέσας
πιστῶς ἐν τῷ βίω σου.

Θεοτοκίον
Γηθόμενοι σοί, ἁγνή, κροστρέχομεν, τή πηγή τῶν ἀειζώων ναμάτων, καί ἐκβοῶμεν• ἐπόμβρισον τάχος, ταῖς ἐν κακίαις διψώσαις τῶν δούλων σου, καρδίαις νάματα σεπτά,
ἀθανάτου ζωῆς, Παναμώμητε.

Αἴτησις καί τό Κοντάκιον
Ἦχος β᾿. Προστασία τῶν χριστιανῶν
Ἀντιλήπτορα μέγα ἡ μάνδρα σου κέκτηται, συμπαθῆ ἀρωγόν καί προστάτην θερμοτατον, σέ τρισμάκαρ Δαβίδ, καί χαίρουσα ἀναβοᾶ• ζόφον δίωξον ἁμαρτιῶν, καί τήν σωτήριον
ὁδόν, δεῖξον τοῖς προσπελάζουσι, ταύτη καί προσκυνοῦσι, τήν κάραν σου τήν ἁγίαν, καί τῷ χορῶ τῶν μοναστῶν, ὡς Χριστοῦ θεράπων γνήσιος.

Προκείμενον: Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.
Στίχος: Τό στόμα μου λαλήσει σοφίαν καί ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Εὐαγγέλιον.
Ἐκ τοῦ κατά Ματθαῖον (Κέφ. ἴα᾿ 27-30)
Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς• πάντα μοί παρεδόθη ὑπό τοῦ Πατρός μου, καί οὐδείς ἐπιγινώσκει τόν Υἱόν, εἰμή ὁ Πατήρ, οὐδέ τόν Πατέρα τίς ἐπιγινώσκει εἰμή ὁ Υἱός,
καί ὧ ἐάν βούληται ὁ Υἱός ἀποκαλύψαι. Δεῦτε πρός μέ πάντες οἱ κοπιῶντες καί πεφορτισμένοι καγῶ ἀναπαύσω ὑμᾶς. Ἄρατε τόν ζυγόν μου ἐφ’ ὑμᾶς. Ἄρατε τόν ζυγόν μου
ἐφ’ ὑμᾶς καί μάθετε ἀπ’ ἐμοῦ, ὅτι πράος εἰμί καί ταπεινός τή καρδία καί εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γάρ ζυγός μου χρηστός καί τό φορτίον μου ἐλαφρόν ἐστι.

Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.
Ταῖς τού σου Ὁσίου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τά πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.
Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.
Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τά πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχος: Ἐλεῆμον, ἐλέησον μέ ὁ Θεός κατά τό μέγα ἔλεός σου καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τό ἀνόμημά μου.

Προσόμοιον.
Ἦχος πλ. β᾿. Ὅλην ἀποθέμενοι.
Μονοτρόπων καύχημα, καί τῶν ὅσιων φωσφόρε, λύχνε λάμπων ἅπασιν, ἀρετῶν λαμπρότητι καί φαιδρότητι, σέ ἱκετεύομεν πάσης στενώσεως, ἐπηρείας τοῦ ἀλάστορος, νόσων,
μολύνσεων, κινδύνων τέ λύμης καί θλίψεως, τάχιστα ἀπάλλαξον, τούς ἐκδεχομένους σήν μεσιτείαν. Σέμνωμα Εὔβοιας, Δαβίδ θαυματουργέ, τούς εὐλαβῶς, ἐπιζητοῦντας τήν
χάριν σου, ὑγιεῖς συντήρησον.

Ὁ Ἱερεύς:
Σῶσον ὁ Θεός τόν λαόν σου καί εὐλόγησον τήν κληρονομίαν σου• ἐπισκεψαι τόν κόσμον σου ἐν ἐλέει καί οἰκτιρμοῖς. Ὕψωσον κέρας Χριστιανῶν ὀρθοδόξων καί καταπεμψον
ἐφ’ ἡμᾶς τά ἐλέη σου τά πλούσια• πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καί Ἀειπαρθένου Μαρίας• δυνάμει τοῦ Τιμίου καί Ζωοποιοῦ Σταυροῦ•

προστασίαις
τῶν τιμίων ἐπουρανίων Δυνάμεων Ἀσωμάτων• ἱκεσίαις τοῦ Τιμίου καὶ Ἐνδόξου Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου• τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων•
ὧν ἐν Ἁγίοις Πατέρων ἡμῶν, μεγάλων ἱεραρχῶν καὶ οἰκουμενικῶν διδασκάλων Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καὶ
Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμμονος, πατριαρχῶν Ἀλεξανδρείας. Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, τῶν Θαυματουργῶν• τῶν ἁγίων ἐνδόξων
μεγαλομαρτύρων Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλήτου, Θεοδώρων Τύρωνος καὶ Στρατηλάτου, τῶν ἱερομαρτύρων Χαραλάμπους καὶ Ἐλευθερίου, τῶν ἁγίων
ἐνδόξων καὶ καλλινίκων Μαρτύρων. Τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν. Τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης. Τοῦ οσίου Δαβίδ του εν Ευβοίας,
καὶ πάντων σου τῶν Ἁγίων. Ἱκετεύομεν σέ, μόνε πολυέλεε Κύριε. Ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καὶ ἐλέησον ἡμᾶς. xristianos.gr

Ὠδή ζ΄. Οἱ ἐκ τίς Ἰουδαίας.
Ἐν Εὔβοια δομήσας, περιώνυμον μάνδραν, Δαβίδ, ἐσύναξας ἀζύγων μέγα πλῆθος, καί τούτους κατηχήσας, σωτηρίοις διδάγμασιν, ἀπῆλθες πρός οὐρανούς, ὑπέρ ἡμῶν πρεσβεύειν.
Ρύμην τήν τῶν κωνώπων, ὁ διώξας ἐν Δύστω ταῖς σαῖς ἐντεύξευσι, Δαβίδ θαυματοφόρε, ἐκδίωξον ἐν τάχει, πάσαν θλίψιν καί ἔννοιαν, ἀκάθαρτον ἀφ’ ἡμῶν, ταῖς πρός
Χριστόν εὐχαίς σου.
Ὁ τήν συκοφαντίαν, ἀνεχθεῖς τῶν ἄπιστων ἐχθρῶν του Πνεύματος, Δαβίδ, ἐν Λεβαδεία, ἐκ ταύτης σούς ἱκέτας, ἀπολύτρωσαι, Ὅσιε, ἵνα τούς νόμους Χριστοῦ, φυλάξωμεν ἀσμένως.

Θεοτοκίον.
Νομοθέτην τεκοῦσα, ἀνηρότως, Παρθένε, Χριστόν τόν Κύριον, τῆς εὐσεβείας νόμους, καί τοῦ Εὐαγγελίου, τούς ὑμνοῦντας σέ πάντοτε, τηρεῖν ἀμέμπτως, ἁγνή, ἀξίωσον
σούς δούλους.

Ὠδή ή΄. Τόν Βασιλέα.
Δύναμιν δός μοί, ὁ δυνατός ἐν τοῖς ἔργοις, καί τοῖς ρήμασι φανεῖς, Δαβίδ παμμάκαρ, πάση ἀντιστῆναι, τοῦ πονηροῦ ἰσχύϊ.
Ἀμέμπτων ὤφθης, ἠθῶν, Δαβίδ, ἐκμαγεῖον, καί διάκονος τῶν θείων μυστηρίων• ὅθεν σέ ὑμνοῦντες, αἰτούμεθα λιτᾶς σου.
Βλέψον ἐξ ὕψους, σοφέ Δαβίδ, καί παθῶν μου, διεκχύσεις ψυξον ταῖς σαῖς ἱκεσίαις, πρός τόν Βασιλέα, καί Λυτρωτήν τοῦ κόσμου.

Θεοτοκίον.
Ἰσχύν λαβοῦσα, ἐξευμενίζειν τόν Κτίστην ὥσπερ Μήτηρ παναμώμητος Ἐκείνου, ἐκτενῶς δυσώπει, ὑπέρ ἡμῶν, Παρθένε.

Ὠδή θ΄. Κυρίως Θεοτόκον.
Δαβίδ πνευματοφόρε, τήν σεπτήν μονήν σου, σκέπε ἀεί, περιφρουρεῖ καί φύλαττε, σύν τοῖς χοροῖς τῶν ἀζύγων, τῶν δοξαξόντων σέ.
Χαρᾶς ἐπουρανίου, τυχεῖν ἀξίωσον μέ, τόν σέ Δαβίδ, θεοφόρε, ὡς γνώμονα, τῶν ἀρετῶν καί θαυμάτων, πρόξενον μέλποντα. xristianos.gr
Ἀξίωσον τιμᾶν σέ, ἐν εὐήχοις ὕμνοις, καί τήν σορόν προσκυνεῖν τῶν λειψάνων σου, τούς εὐφημούντας ἀπαύστως, Δαβίδ, σέ ἅγιε.

Θεοτοκίον.
Ρυσθῆναι μέ μανίας, τοῦ Βελίαρ, Μῆτερ, ἡ τῶν ἀνθρώπων τόν ρύστην κυήσασα, τόν Λυτρωτήν, Ζωοδότην, καί πάντων Κύριον.
Ἄξιον ἐστίν ὡς ἀληθῶς, μακαρίζειν σέ τήν Θεοτόκον, τήν ἀειμακάριστον καί παναμώμητον καί μητέρα τοῦ Θεοῦ ἡμῶν. Τήν τιμιωτέραν τῶν Χερουβίμ καί

ἐνδοξοτέραν
ἀσυγκρίτως τῶν Σεραφίμ, τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν τήν ὄντως Θεοτόκον σέ μεγαλύνομεν.

Καί τά παρόντα Μεγαλυνάρια.
Χάριτας βλυζάνει παντοδαπᾶς, ἡ σεπτή σορός σου, θεοφόρε πατήρ Δαβίδ, τοῖς προσερχομένοις, αὔτη μέτ᾽ εὐλαβείας, καί πίστει ἐκζητούσι τήν μεσιτείαν σου.
Προσδεξαι δεήσεις σῶν ἰκετῶν, φωτοφόρον ἄστρον, τῆς Εὔβοιας, κλεινέ Δαβίδ, καί ἐξ ἐπήρειας τοῦ μιαροῦ Βελίαρ, ἀπάλλαξον τούς πόθω ὑμνολογοῦντας σέ.
Καύχημα Λοκρίδος περικαλλές, Ἄθωνος καί Ὄασης, ἐνδιαίτημα εὐκλεές, Ναυπακτίας κλέος, ὡράϊσμα Στειρίου, Δαβίδ, καί τῆς Εὔβοιας πέλεις θησαύρισμα.
Σκέπε, φρούρει, φύλαττε ἐκ δεινῶν, τήν σεπτήν μονήν σου, ὁσιώτατε ἀσκητά, ἧς δομήτωρ πέλεις θεοσοφός, καί ρύσαι, αὐτήν ἐξ ἐνεστώσης βλάβης καί θλίψεων.
Πᾶσαι τῶν Ἀγγέλων αἵ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

Τό Τρισάγιον
Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος ἐλέησον ἡμᾶς. (τρεῖς φορές)
Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.
Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.
Παναγία τριάς, ἐλέησον ἡμᾶς. Κύριε ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρισον τάς ἀνομίας ἡμίν. Ἅγιε, ἐπισκεψε καί ἴασαι τάς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.
Κύριε ἐλέησον, Κύριε ἐλέησον, Κύριε ἐλέησον.
Δόξα Πατρί καί Υἱῶ καί Ἁγίω Πνεύματι.
Καί νῦν καί ἀεί καί εἰς τούς αἰώνας τῶν αἰώνων. Ἀμήν.
Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τό ὄνομά Σου, ἐλθέτω ἡ βασιλεία Σου, γεννηθήτω τό θέλημά Σου ὡς ἐν οὐρανό καί ἐπί τῆς γής. Τόν ἄρτον ἡμῶν τόν ἐπιούσιον
δός ἡμίν σήμερον, καί ἄφες ἡμίν τά ὀφειλήματα ἡμῶν, ὡς καί ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καί μή εἰσενέγκης ἡμᾶς εἰς πειρασμόν ἀλλά ρύσαι ἡμᾶς ἀπό τοῦ πονηροῦ.

Καί τό Ἀπολυτίκιον.
Ἦχος ἅ ᾽. Τῆς ἐρήμου πολίτης.
Ταπεινώσεως ἄστρον τηλαυγές τό τοῦ Πνεύματος, ταῖς βολαῖς ἀστράψαν καί κόσμον, καταυγάσαν τοῖς θαύμασι, τόν γόνον Ταλαντίου τόν κλεινόν, καί καύχημα Εὔβοιας ἱερόν,
ἐπαινέσωμεν ἐκθύμως, Δαβίδ τόν θεοφόρον καί βοήσωμεν• Δόξα τῷ σέ δοξάσαντι Χριστῷ, δόξα τῷ σέ στεφανώσαντι, δόξα τῷ ἐνεργούντι διά σου, πάσιν ἰάματα.

Ἐκτενής καί Ἀπόλυσις, μέθ᾽ ἥν ψάλλομεν τό ἑξῆς:
Ἦχος β᾽. Ὅτε ἐκ τοῦ ξύλου.
Πάντων, ὁσιώτατε Δαβίδ, γέρον κεκλημένε, τῶν ποθῶ, ἀσπαζομένων πιστῶς, κάραν σου τήν παντιμον καί σήν λειψάνων σορόν, τάς αἰτήσεις ἐκπλήρωσον, καί ἐξ ὀλέθριων,
πειρασμῶν τοῦ δράκοντος, ἀπάλλαξον σαῖς λιταῖς, ἵνα ἀκλινῶς σέ τιμῶσι, καί τόν βασιλέα τῶν ὅλων, τόν σέ μεγαλύναντα δοξάζωσι.

Ἦχος πλ. δ᾽.
Δέσποινα προσδεξαι, τάς δεήσεις τῶν δούλων σου, καί λύτρωσαι ἡμᾶς, ἀπό πάσης ἀνάγκης καί θλίψεως.

Ἦχος β᾽.
Τήν πάσαν ἐλπίδα μου, εἰς σέ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξον μέ ὑπό τήν σκέπην σου.

Ὁ Ἱερεύς: Δί’ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.